τῶν γραμμάτων στοιχεῖα ὅσον ἐπιέναι δύνασθαι τὰ εἰς ὕμνον τοῦ Θείου τείνοντα. τὴν γὰρ περαιτέρω παιδείαν ζημίας εἶναι πρόξενον εἰς ἀσέβειαν ὑποσύρουσαν. Πεντάκις τῆς ἡμέρας ἀποσοματίζειν ἔφη τὰς ἐτίμους προσευχὰς, καὶ τρὶς ἑκάστης ἑβδομάδος ἄγειν σχολὴν, καὶ οὐ μόνην τὴν τῆς Ἀφροδίτης ἡμέραν τιμᾶν, ἀλλὰ καὶ τὴν Κρόνου, καὶ τὴν Ἡλίου, τῆς ἰδίας ἀσφαλείας πρόνοιαν δῆθεν ποιούμενον. τίς γὰρ ἀκριβῶς οἶδεν, ἔφη, ὁποίᾳ λατρείας ἰδέᾳ ἀρέσκεται τὸ Θεῖον;

Ἀμέλει τοῦ ἁπλοϊκοῦ γέροντος ἀπνευστὶ ἡμῖν διιόντος τὰ κατ' αὐτὸν, καταλαμβάνομεν τὸν ἀντίπεραν αἰγιαλὸν, καὶ δαψιλῶς ἀντιδόντες τὰ πορθμεῖα, πολλαῖς τ' ἐπευχαῖς ἐφοδιασθέντες παρ' αὐτοῦ, πρόσω χωροῦμεν. Ἀφικόμενοι δ' εἰς τὴν οἰκίαν, ἐν ᾗ ὁ εὐγενὴς Ἰταλὸς διέτριβεν, ἕνα μόνον τῶν αὐτοῦ δούλων εὕρομεν, ὃς ἐδήλωσε τῷ Ἰακώβῳ ἀπεληλυθέναι τὸν αὐτοῦ δεσπότην παρά τῳ ἐλλογίμῳ καὶ πλουσίῳ Γραικῷ, ἐπειπὼν καὶ τὸ ἐκείνου ὄνομα, παρ' ᾧ ἔμελλε καὶ τὴν ἐπιοῦσαν παρα-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

μεῖναι νύκτα. Ἥκομεν ἄρα καὶ ἡμεῖς παρὰ τὸν Γραικὸν, πάλαι ἡμῖν γνώριμον ὄντα, ἵνα καταλαμβάνομεν τόν τε ἀπὸ Ἰταλίας ξένον καὶ Βρεττανόν τινα, καὶ ἕτερον Κελτὸν πρὸ ὀλίγου ἀπὸ Πολωνίας ἥκοντα, ἐνετύχομεν δ' αὐτοῖς ἐν περικαλλεῖ οἰκήματι παρακεκλιμένοις καὶ τῷ Γραικῷ παγκάλους λόγους διιόντι ὑπέχουσι τὰ ὦτα, καὶ μάλα προσέχουσι τὸν νοῦν. Ὁρῶμεν δὲ καὶ βίβλους οὐκ ὀλίγας, τὰς μὲν, ἐπὶ τῆς τραπέζης κειμένας, τὰς δὲ, ἐν οἰκίσκοις θριγκοῖς διειλημμένοις ἀποτεταμιευμένας. Εἰσιόντας δ' ἡμᾶς ἅπαντες ἐξαναστάντες προσηνῶς καὶ φιλοφρόνως ἐδεξιώσαντο, μάλιστα δὲ ὁ Ἰταλὸς λόγων κομψότητι χάριτας ὡμολόγει τῷ Ἰακώβῳ εἰς ἔργον ἀγαγόντι τὴν ὑπόσχεσιν, ἑτοίμως ἔχειν, καὶ ἑαυτὸν διαβεβαιούμενος εἰς ἰσοῤῥόπου εὐνοίας ἀντίδοσιν ὅπῃ δεήσοι. Ἐπειδὴ δ' ἀναπυνθανομένους εὕρομεν αὐτοὺς παρὰ τοῦ Φιλολόγου Γραικοῦ ὁποίων βίβλων τέρποιτο τῇ ἀναγνώσει, καὶ ἐκεῖνον εὐφυῶς ἀποκρινόμενον, ἀποσειόμεθα τὴν αἰδῶ, καὶ λιπαρῶς ἀντιβολοῦμεν ὅπως μηδαμῶς ἀνακόψῃ τὸν

Ε.Υ.Δ. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

ῥȣ̃ν τȣ̃ λόγȣ, ἀλλ' εἴτι μήπω ἡμῶν ἀφικομένων εἰρηκὼς, ἔφθη, ἀπ' ἀρχῆς ἀναλαβὼν, ϗ ἡμῖν τὰ μέγιϛα χαριȣ́μενος αὖθις ἐπέλθοι.

Οὐκȣ̃ν τȣ̃ λέγειν ἀρξάμενος, ἦδ' ὃς ὁ Γραικός. ἡ δύϛηνος Κωνϛαντινȣ́πολις ἀπολωλεκυῖα τὸ κράτος, ἀπέβαλε ϗ τȣ̀ς τῆς σοφίας ἀκηράτȣς θησαυρȣ́ς· οἱ γὰρ πλείȣς τῶν ἐκείνης διασωτῶν, τῆς πόλεως οἰκτρῶς ἁλȣ́σης, τȣ̀ς Ὀθωμανȣ̀ς κατωῤῥωδηκότες, εἰς Ἰταλίαν ἀπέπλευσαν, ἵνα τιμῆς τε ϗ εὐνοίας μηδαμῶς ἀμοιρήσαντες, τὴν αὐχμῶσαν, ϗ δίψει κρείττονος παιδείας τότε πιεζομένην παντοδαπῆς σοφίας νάμασιν ἐπήρδευσαν, διδάξαντες Πλάτωνά τε ϗ Ἀριϛοτέλην, ϗ τὸν ἄλλον ὅμιλον τῶν ἐξαιρέτων λογογράφων ἅμα ϗ ποιητῶν τῇ Λατίνων λαλεῖν γλώσσῃ· ȣ̓δ' ἡ Ἑλλὰς ὅμως παντάπασιν ἔρημος καταλέλειπται ἀνδρῶν τε σοφῶν ϗ βίβλων, ἀλλ' εἶχε ϗ ȣ̓ διέλιπε περιθάλπȣσα λείψανα ἀρχαίας πολυτελείας· Προϊόντος δὲ τȣ̃ χρόνȣ ἥκȣσιν ἀπό τε τῶν ἐν Ῥώμῃ ϗ Παταβίῳ λαμπροτάτων ἀκαδημιῶν ἄνδρες ἐξαίσιοι περὶ πᾶ-

εἶδος σοφίας, καὶ πλουτίζουσι τὸ ὁμόφυλον τῇ τε θύραθεν, καὶ τῇ καθ' ἡμᾶς σοφίᾳ, καὶ ἐν τῇ παρούσῃ δ' ἐσχατιᾷ τοῦ χρόνου ἔνιοι ἀτρύτῳ φιλοπονίᾳ νύκτωρ τε καὶ μεθ' ἡμέραν ἀνελίττουσι τά τε Ἑλλήνων, καὶ ὁπόσα τῇ Λατίνων, καὶ Ἀράβων, καὶ Περσῶν, Ἰταλῶν τε καὶ Γάλλων φωνῇ εὐφυῶς ξυντέθειται. τὸ δ' εἰς ἐμὲ ἧκον ὀλίγαις μὲν, σοφῶν δὲ κρίσει ἐξαιρέτοις βίβλοις ἀρκούμενος ὁπόσον μοι σχολῆς περίεστιν ἐπὶ τῇ ἐκείνων ἀναγνώσει προθύμως ἀναλίσκω. καὶ περὶ μὲν τῶν Θείων τί δεῖ μακροὺς ἀποτείνειν λόγους; ἅττα ζέοντι τῷ πνεύματι σεβόμεθα, καὶ οἷς μονονουχὶ προσφυέντες τὴν ζωογονοῦσαν καὶ ῥωννύουσαν νοερὰν ἐκεῖθεν ἐκμυζῶμεν τροφὴν, οὐδεπώποτε κόρον λαμβάνοντες. ἐκ δὲ τῶν θύραθεν τὰ Πλάτωνος ὡς τὰ πολλὰ μετὰ χεῖρας ἔχω, καὶ ἀναγινώσκω μὲν καὶ τὸν Φαίδωνα, ἀλλ' οὔτε τῶν ἐκεῖθεν ἐπιχειρημάτων χρείαν ἔχω, ὅπως τὴν περὶ ἀθανασίας ψυχῆς ἀκλόνητον καὶ ἀκράδαντον ἐμὴν πληροφορίαν βεβαιοτέραν καταστήσω, οὐδ' ἐκπλήττομαι Σωκράτην ἐν τῷ δεσμωτηρίῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

μακροῖς λόγοις εἰς στεῤῥότητα ἑαυτὸν, καὶ τοὺς φίλους ἀλείφοντα. ἐπειδὰν δὲ ἤδη ἐπεσώκει τὸ κώνειον ἐγκαλυπτόμενον, καὶ ὑπὸ τῷ τρίβωνι συνειλούμενον, καὶ ἀλεκτρυόνα θῦσαι τῷ Ἀσκληπιῷ τοῖς ἑταίροις σμικρολόγως ἐπιτάττοντα. ἱκανὰ γάρ εἰσι καὶ κραδαινομένην ψυχὴν εἰς ἀφοβίαν καὶ ἀνδρείαν στεγανώτατα πηγνῦντα μυρίων ἀνδρῶν τὰ ὑπὲρ Χριστοῦ μαρτύρια, καὶ μάλιστα Ἰγνατίου καὶ Πολυκάρπου τῶν θεσπεσίων γερόντων, ὧν τοὺς γενναίου μεστοὺς φρονήματος λόγους, καὶ τὰς ἐπιστολὰς τὰς ἐν ἐπιτομῇ ἄπλετον ἀγάπης θησαυρὸν προχεούσας ἐπιόντι μοι δακρύων ἀναπίμπλαται τὰ ὄμματα, πῦρ ἐπινέμεται τὸ στῆθος, θείῳ τε ἔρωτι ὅλως πυρπολοῦμαι. ἀπίτω τοῦ λόγου βασκανία. οὐδὲ γὰρ εἰς ψευδῆ εὐσέβειαν καλλωπίζομαι, ἀκεραιότητι δὲ γνώμης τὰ ὄντα τοῖς φίλοις ἀνακοινοῦμαι. Ἀναγινώσκω δὲ μεθ' ὅτι πλείστης ἡδονῆς τὰ περὶ πολιτείας καὶ νόμων τοῦ Πλάτωνος, διά τε τὴν ἐμμέλειαν καὶ ἡδύτητα τῆς ἀπαγγελίας, καὶ διὰ τὴν μετὰ πολλῆς ἐμβριθείας δι' ὅλου τοῦ ὕφους τῶν λόγων ἐπαν-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΕΠΕΑΕΚ ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

θοῦσαν φρόνησιν, θαυμάζων ϗ τὴν πρὸς Ὅμηρον ἐπιδέξιον τοῦ φιλοσόφου μίμησιν. καίτοιγε ἐρίῳ στέψαντος ϗ ἀποπέμψαντος αὐτὸν τῆς πολιτείας. παρατηρῶ δὲ ϗ ἐνίους τῶν νόμων, οἵγε μεταξύ τινων δεισιδαιμονίας ϗ ἀνοσιότητος μεστῶν διαλάμπουσι, ϗ τέρπομαι ἀναθεωρῶν ὡς μέχρι τοῦ νῦν αἰῶνος ἔνιαι βασιλεῖαι ϗ πολιτεῖαι χρῶνται πολλοῖς τῶν παρὰ Πλάτωνι νόμων. ἐν δὲ τῇ Ἀριστοτέλους φιλοσοφίᾳ ἱκανὸν οἶμαι καταδεδαπανῆσθαί μοι χρόνον ἔτι νέῳ ὄντι, ἐν τῇ παρούσῃ τε ἡλικίᾳ προθυμότερον ἀνελίττω τὰ περὶ ἠθῶν αὐτῷγε γραμμένα, ϗ τὰ ῥητορικὰ, ϗ μάλιστα τὰ περὶ παθῶν. ἀλλὰ μεταξὺ θαυμάζω, ϗ δι' ἐπαίνων ἄγειν οὐ παύομαι τοὺς Νεωτέρους εἰς τὰ ἐνδόμυχα τῆς φύσεως χωρήσαντας, ἐξαισίαις τε ἐπιστασίαις ἀνευρόντας ἐν παντοίας παιδείας ἰδέᾳ μυρία ὅσα ἀληθῆ οὐδὲν ἧττον, ἢ καινὰ, ὥστε πολλάκις ἔπεισί μοι λέγειν, εἴγε, ἀναβιῶναι ἐξὸν εἴη τῷ σοφῷ Ἀριστοτέλει ἔν τε τοῖς φυσικοῖς, ἔν τε τοῖς περὶ τὰ ἤθη, ϗ τοὺς χαρακτῆρας ὁμολογήσαντα ἑαυτὸν ἀντι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

κρυς ἡττῆσθαι ἄσμενον ἂν μαθητὴν γενέσθαι τηλικούτων ἀνδρῶν. Ἐκεῖνο δὲ μόνον τῶν Νεωτέρων ἐκ ἐπαινῶ, τὸ οἱονεὶ πόλεμον ἀνακεκηρυκότας ἐνίȣς πρὸς τὴν κοινὴν μητέρα τὴν Φύσιν, ϗ εἰς ἀπρόσφυλόν τινα καλλωπιζομένȣς ἀγχίνοιαν, προφάσει περιέργȣ ἐρεύνης τῶν κινημάτων αὐτῆς, ϗ τὰς ἐπαινετὰς, ἢ γȣ̃ν ἀδιαφόρȣς τῶν ἀνθρώπων ἐνεργείας, ϗ μάλιςα τῶν πολιτευομένων, ϗ τȣ̃ ἐξαισίȣ γυναικείȣ φύλȣ πάσῃ μηχανῇ βιάζεσθαι, ϗ παρασύροντας εἰς τὸ χεῖρον ὡς τὰ πολλὰ παρεξηγεῖσθαι. Μεταξὺ δὲ τῶν τοιȣ́των ἐξέχει ὁ πρὸ ȣ̓ πολλῶν ἐτῶν συγγράψας, ϗ ἀνωνύμως ἐκδεδωκὼς Γαλλικῇ διαλέκτῳ τὰ ἠθικὰ ἀξιώματα, πρὸς ὃν φιλοτιμȣ́μενός τις τῶν ἐμοὶ γνωρίμων ἠπιώτερον ἑρμηνεῦσαι πρȣτεθύμηται τὰς τῶν ἀνθρώπων ἐνεργείας. ȣ̓κȣ̃ν τὴν ἐναντίαν τραπόμενος ἐπιεικῆ ἑρμηνείαν τῶν ἐν ταῖς ψυχαῖς ἐνδομυχȣ́ντων ὀνομάζει τὰ αὐτῷ ξυντεθέντα, ȣ̓δ' ἀποκνήσω εὐκαιρίας ἄλλοτε μείζονος τυχὼν ὑμῖν ϗ ἀνακοινώσασθαι ἔνια τῶν τοιȣ́των φροντισμάτων ἴσως ȣ̓κ ἀηδῆ φανȣ́με-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

να· Ἀναγινώσκω δὲ καὶ τὰ πολιτικὰ τοῦ Ἀριστοτέλους, καὶ περιηγοῦμαι παρ' αὐτῷ τὰ ἐρείπια, ὡς ἔπος εἰπεῖν, τῶν παλαιῶν πολιτειῶν. ἐλεῶ δὲ τὸν ἀπὸ Φλωρεντίας πολιτικὸν οὐχ ἡγησάμενον ἱκανὰ τὰ παρὰ Ἀριστοτέλει μνημονευόμενα εἰς μοχθηρίαν συγκροτῆσαι τυραννικὴν ψυχὴν, ἀλλ' ἀνοσίοις ὑπομνήμασι προσφάτους κακίας ὁδοὺς ταμόντα, καὶ πολλοῖς ἱδρῶσιν ἀνεξάλειπτα ὀνείδη ἑαυτῷ πάνυ σκαιῶς πριάμενον. ἀνελίττω δὲ προθύμως, καὶ πολλάκις τοὺς Δημοσθένους λόγους ὡς ὄντας τύπους ὑψηλῆς καὶ δεινῆς καὶ ἀκριβεστάτης ἰδέας. συγκρίνων δ' αὐτὸν τῷ Κικέρωνι τοῦ χρόνου μόνον φέρειν εἰκάζω τὰ πρωτεῖα. οὐδὲ γὰρ ἐν τοῖς ἄλλοις ὁ Ῥωμαῖος παραχωρεῖ τῷ Δημοσθένει, ὅς, ἵνα τοῦ σοφοῦ Λογγίνου ταῖς λέξεσι χρήσωμαι· „ὡς
„ἀμφιλαφής τις ἐμπρησμὸς οἶμαι πάντη νέμε-
„ται καὶ ἀνειλεῖται πολὺ ἔχων, καὶ ἐπίμονον
„ἀεὶ τὸ καῖον, διακληρονομούμενον ἄλλοτ' ἄλ-
„λως ἐν αὐτῷ, καὶ κατὰ διαδοχὰς ἀνατρεφό-
„μενον.“ καὶ οὐδὲν θαυμαστὸν εἰς τοσοῦτον κλέος ἥκειν τὸν φύντα καὶ τραφέντα ἐν τῇ Ῥωμαίων

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

πολιτείᾳ, τῇ παμφορωτάτῃ τηλικούτων ἡρώων, ϗ πολλῶν μεγαλεργημάτων γονιμωτάτῃ. οὐ μόνον δὲ τοὺς λόγους τοῦ Κικέρωνος μετιὼν μηδέποτε λαμβάνω κόρον, θαυμάζων τὸ πολύχουν, τὸ ἀπαράμιλλον ἐν εὐροίᾳ, τὸ κατάλληλον τῶν ἐπιχειρημάτων, ἅγ' ἀπ' αὐτῆς οὐσίας τῶν προκειμένων ἀναβλαστάνει, τὸ πυκνὸν τῶν ἐνθυμημάτων, τὸ ποικίλον τῶν περὶ τὴν λέξιν ϗ τὴν διάνοιαν σχημάτων, τῶν μονονουχὶ συμπεφυκότων τοῖς πράγμασι, ϗ τὴν γνῶσιν τῶν πολλῶν λανθανόντων. ἀλλ' ἐπὶ πᾶσιν ἐκπλήττουσι τὰ ἤθη οἱ χαρακτῆρες, τὰ πάθη, ἃ δι' ὅλου τοῦ σωματίου ἑκάστου τῶν λόγων δαιμονίως ἀναλάμποντα γοητεύει τὰς ψυχάς· Ἀναγινώσκω δ' οὐκ ἐπιλίγδην ϗ ὁπόσα εἰς φιλοσοφίαν τείνει, ϗ μάλιστα περὶ τὰ ἤθη τῶν ἐκείνου συγγραμμάτων, ταμεῖα παλαιότητος ὄντα, ϗ γέμοντα μεγάλης φρονήσεως ϗ ἐμβριθοῦς κρίσεως. ψυχαγωγῶ δὲ ϗ παιδεύω ἐμαυτὸν ϗ ταῖς ἐπιστολαῖς αὐτοῦ· εἰκόνες γὰρ ἀκριβεῖς εἰσιν οὐ μόνον τοῦ Κικέρωνος βίου, ἀλλὰ ϗ τῆς τότε Ῥωμαίων πολιτεί-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

ας. ἀπαρέσκει δέ μοι τὸ πικρόχολον αὐτȣ̃, τὸ μεμψίμοιρον, ϗ εἰ θεμιτόν ἐςιν εἰπεῖν, τὸ τῇ ψυχῇ ἐμφωλεῦον χαιρέκακον, ϗ τὸ ἐν ταῖς ἐνσκηπτȣ́σαις ἐπηρείαις ἀναφαινόμενον ὀλιγόψυχον ϗ δειλὸν, ϗ ὅλως εἰς χαμαίζηλον κολακείαν ἐκκεχυμένον, ϗ πάλιν ἀπ' ἐναντίας εἰς ἐπίπλαςον ἀνδρείαν ἐνίοτ' ἀπειροκάλως νεανιευόμενον. Προσεδρεύω δὲ ϗ παραπέμπω ὅση δύναμις μονονȣχὶ προσφύομαι ταῖς ἔτι νεαζούσαις, ϗ ἀκηράτȣς ἀτμȣ̀ς ἀναπνεȣ́σαις γοναῖς Ὁμήρȣ ϗ Πινδάρȣ, Ἡροδότου τε ϗ Θȣκυδίδου, Εὐριπίδου τε, ϗ Ξενοφῶντος ταῖς ἀπὸ ἱερῶν ςομίων, ὡς ὁ σοφὸς ἔφη Λογγῖνος, ἀπὸ τῆς ἐκείνων μεγαλοφυΐας φερομέναις ἀποῤῥοίαις τρεφόμενος. ἔχω δὲ πάνυ προθύμως ἀναμανθάνειν τῶν πάλαι φιλοσόφων, βασιλέων τε ϗ ςρατηγῶν τὴν κατάςασιν, τὴν τε ἐν τῷ κοινῷ, ϗ τὴν κατ' οἶκον ἀναςροφὴν, τὰ δόγματα, τὰ ἀξιώματα, τὰ οἷον ἐρύματα ὄντα βίȣ· προσέτι δὲ τὸ ἰσχυρὸν ϗ σαθρὸν τῆς ἑκάςȣ ψυχῆς, ϗ συνελόντι φάναι, ὁλόκληρον τὴν ἰδέαν ϗ τὸν χαρακτῆρα, ϗ μά-

ΙΩΑΝΝΙΝΑ 2005

λισα τὴν ἐντεῦθεν ἔξοδον. Οὐκοῦν ἡδέως ἀνελίττω τοὺς βίους οὓς γραφῇ παραδεδώκασι Διογένης τε ὁ Λαέρτιος, ϗ Κορνήλιος ὁ Νέπως, ϗ ὁ Πολυμαθέστατος Πλούταρχος. ϗ ἐν μὲν τοῖς βίοις τῶν πάλαι φιλοσόφων ἀνευρίσκω πολλὰ θαυμαστὰ, ἔνια δὲ χαμερπέστερα τοῦ κλέους αὐτῶν, ϗ μάλιστά τισι τῶν ἀποφθεγμάτων οὐ πάνυ τοι δοκεῖ μοι ἐπανθεῖν ἡ δέουσα ἀγχίνοια ϗ ἀστειότης. οὐκ ὀλίγα γὰρ τῶν νεωτέρων Ἀράβων τε ϗ Ὀθωμανῶν αὐτῶν πολλῷ εὐφυέστερον ϗ καιριώτερον ἀποτετόξευται. ἔδει δὲ τὸν Λαέρτιον διεξοδικώτερον ἡμῖν διαζωγραφῆσαι τῶν πάλαι σοφῶν τοὺς βίους, ἢ κἂν ὡς φιλοτιμέμενος, ϗ τῇ αὐτῷ ἀρεσκέσῃ δόξῃ χαριζόμενος, ἐμνημόνευσε τῶν Ἐπικούρου δογμάτων τὰ πλείω. χάριτας ὅμως ϗ οὕτως ὁμολογεῖν αὐτῷ προσήκει, εἰς τὸν ἔπειτα αἰῶνα παραπέμψαντι τὰ ὀνόματα, ϗ τὰς ἐπιγραφὰς τῶν βίβλων, ἃς ὁ παμφάγος χρόνος κατέκλυσε. Καὶ ἡ μὲν στέρησις τηλικούτων θησαυρῶν οὐκ ὀλίγης ἡμῖν ἀθυμίας γίνεται παραίτιος· ἐλπίζομεν δὲ ἐχέγγυον πίστιν ἔ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ

χοντες τὸ ἄτρωτον τῆς μέχρι τοῦδε φιλοπονίας, ἐπιμᾶλλον εἰς ἅμιλλαν ἀναφλεγομένους τοὺς Νεωτέρους, ϗ τὸ ἐνδόσιμον εἰληφότας ἀπὸ τῶν ὀνομάτων τῶν μὴ σωζομένων βίβλων κατὰ πᾶσαν παιδείας ἰδέαν, ϗ ἐς τοὐπιὸν εἰς φῶς ἀγαγεῖν πολυτελεστάτας νοὸς γονάς· Τοὺς δὲ παρὰ τῷ Κορνηλίῳ βίους ἀναγινώσκων, παρατηρῶ τὸ ποικίλον ϗ πολύπλοκον τῆς ἐλαυνούσης τοὺς ἐπισημοτάτους ἄνδρας τύχης, τῶν τε πολιτειῶν τὴν ἀχαριστίαν, ϗ τῶν ἐξαισίως αὐτὰς εὖ πεποιηκότων τὸ ὡς ἐπιτοπολὺ εἰς τραγῳδίαν χωρῆσαν τοῦ βίου πέρας. εἰδ' ὁ γλαφυρώτατος Νέπως καθάπερ τὸν τοῦ Ἀττικοῦ ἀνεγράψατο βίον, ϗ τοὺς τῶν ἄλλων περικλεῶν ἀνδρῶν διειληφὼς εἴη, μείζονα ἡδονήν τε ϗ ὠφέλειαν ἐκαρπώσαντο ἂν οἱ μετὰ χεῖρας λαμβάνοντες τὸ βιβλίον. Ὁ δὲ Πλούταρχος πλατυτέραν μὲν ϗ πολύχουν προτίθεται τοῖς φιλολόγοις τὴν ἀφήγησιν, ἀλλ' ὥς τις τῶν πεπαιδευμένων εὐφυῶς παρατετήρηκεν, οὐδ' αὐτὸς κατὰ βάθος ἀναπτύσσει τὰς ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς πτυχάς. ἐπὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ.Ι.Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

πᾶσι δὲ ἰδιαιτέρᾳ τινὶ νοὸς ῥοπῇ προσέτηκα ταῖς βίβλοις τῦ σοφωτάτυ Βακώνυ, ἐδ᾽ εὑρίσκω προσήκοντας λόγυς, ὅπως ἱκανῶς ἐπαινέσω τῦ ἀνδρὸς τὴν ἀγχίνοιαν, τὴν εὕρεσιν, τὴν φρόνησιν, τὸ βάθος, τὴν κρίσιν, τὴν μεγαλόνοιαν, τὴν πολυμάθειαν, τὴν οἰκονομίαν, τὰς καιριωτάτας ὁμοιότητας, ἑνὶ λόγῳ, τὴν ἐν τῇ ἀνατομῇ, καὶ οἷον εἰπεῖν, μεταλλείᾳ τῆς φύσεως ἀκρίβειαν, τὴν ἐν τοῖς πολιτικοῖς περίνοιαν, τὴν ἐν τοῖς ἠθικοῖς νουνεχῆ, ἔντιμον, ἀκέραιον, καὶ ἀληθῆ διάκρισιν. ἀλλ᾽ ὐδὲ τὰ τηλικέτου ἀνδρὸς θεσπέσια τῳόντι ὑπομνήματα ἀποδιδράσκει τὰ δήγματα τῦ φθόνυ. Περιεργότερον γὰρ ἔνιοι παρατηρῦντές, φασιν, ἀπό τε τῶν Πάλαι, καὶ τῶν Νεωτέρων εὐφυῶς τὸν Βακῶνον ἐρανιζόμενον τὰ ἄνθη, τῇ οἴκοθεν οἰκονομίᾳ, ἐπιδεξίως διαπλέκειν ἑαυτῷ τὸν πάγκαλον τῆς δόξης ςέφανον. καὶ ἐν τύτῳ δὲ τῦ ἀνδρὸς καθαπτόμενοι, ἐπιδεικνῦναι, φασὶν, αὐτὸν ὑπερβάλλυσαν ῥοπὴν καὶ ςοργὴν περὶ τὰς τῦ ἰδίυ νοὸς γονὰς, καίτοι λαμπροτάτας ὔσας, ὥςε ποικίλῃ λόγων περιβολῇ κατακαλλύνει-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕ...
Ε.Υ.: ... Κ.τ. Π ΙΩΑΝΝΙΝΑ 2005

τα τὰ αὐτȣ̃ νοήματα πολυειδέσι ϗ ἀνθηροῖς, ὡς ἔπος εἰπεῖν, ἱματίοις ἠμφιεσμένα πολλάκις προάγειν εἰς μέσον· ὑπονοȣ̃νται δὲ ϗ τῶν ἐν τοῖς φυσικοῖς παρατηρήσεων πολλὰς ἥκιϛα βεβαίας εἶναι ϗ ἀσφαλεῖς ἐν αὐτῇ τῇ πείρᾳ. οἴονται δ' ὥσπερ τὰ παρὰ τῷ Διοσκορίδῃ τάγε πλείω μόλις τὸ πολλοϛὸν ἐν τῇ χρήσει ἐπιδείκνυται τῶν ἐπιγραφομένων, αὐτοῖς δυνάμεων. τȣ̃τ' ἴσως ἀποβαίνειν κατὰ τὴν πεῖραν τῶν ἱϛορȣμένων τῷ σοφῷ Βακώνῳ. ἐπὶ πᾶσι δ' ἀσφαλέϛερον ἀναλάμπειν ὑπειλήφασι τῶν τὰς ὄντων ἀρχὰς, ϗ τὰ πρωτόγονα σπέρματα ἑκȣσίῳ δρόμῳ, ϗ διὰ τῆς λεωφόρȣ ἰȣ́σης τῆς φύσεως, ἢ ϛρεβλȣμένης, ϗ τῇ βιαίῳ μετ' Ἡφαίϛȣ μίξει ἐκτιτρωσκȣ́σης μυρία ὅσα τέρατα ἀμενηνὰ ϗ ἐφήμερα. τῆς γὰρ ἔξωθεν πεπαυμένης βίας, πάλιν εὐθὺς ἀνατρέχειν, φασίν, εἰς ἑαυτὴν τὴν φύσιν, μὴ παραχαράττȣσαν τȣ̀ς πάλαι νόμȣς.

Ἐπεδείξατο δ' ἡμῖν ὁ πολυμαθὴς Γραικὸς ϗ σχεδίασμα τῶν αὐτῷ φιλοπονȣμένων ἠθικῶν ϗ πολιτικῶν ἀποσημειώσεων εἰς ἐνίȣς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

τῶν ἐνδόξων ἀνδρῶν βίους, εἰληφότι, ὡς ἔλεγε τὸ ἐνδόσιμον ἀπὸ τῶν ὑποτυπώσεων τοῦ περιωνύμου Βακώνου, ἐξ ὧν οὐκ ἀπὸ σκοποῦ ἔδοξε τὰ εἰς τοὺς παρὰ Λαερτίῳ βίους Θαλοῦ καὶ Σόλωνος τῶν σοφῶν μεταγραψαμένους, ἐς γε τὸ παρὸν προθεῖναι τῇ τῶν φιλολόγων κρίσει, ἃ οὕτως εἶχεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Ἀποσημειώσεις ἠθικαὶ καὶ πολιτικαὶ εἰς τὸν βίον τοῦ σοφοῦ Θαλοῦ.

Α΄. Οἱ περὶ τοῦ γένους καὶ τῆς πατρίδος τῶν ἐπὶ σοφίᾳ μέγα κλέος ἀραμένων, ἄλλη καὶ ἄλλη ἀφηγούμενοι καταθολοῦσι τὸ περὶ τῶν ἱστορουμένων ἀτρεκὲς, καὶ ῥαθυμίας ὑπόνοιαν διδόασιν, ἅτε μὴ διακριβωσάμενοι τὴν ἀλήθειαν, ἀλλ' ἴσως κατ' ἀρχὰς ἀγράφοις μόνον ἐσώζετο μνήμαις τὰ τοιαῦτα, μετέπειτα δὲ τῇ προόδῳ τοῦ χρόνου εἰς διαφόρους σχισθέντα φήμας, προσθήκαις τε καὶ ἀφαιρέσεσιν ἀμαυρωθέντα ὡς

Ε.Υ.Δ της Ε.Π. ΙΩΑΝΝΙΝΑ 2005